ὁμολογήσαντα μεταδώσειν, ὥστε διὰ τοῦτ᾽ οὐ παρακαταβάλλειν αὐτούς, τῆς δὲ πρὸς ἐμὲ λήξεως ἐμποδὼν εἶναι τοὺς νόμους — οὐ γὰρ εἶναι τοῖς ὀρφανοῖς κατὰ τῶν ἐπιτρόπων — οὐδέτερ᾽ ἀληθῆ λέγων. 28 Οὔτε γὰρ ἂν νόμον δείξειεν ὃς κωλύει τοῦτον ὑπὲρ τοῦ παιδὸς δίκην παρ᾽ ἐμοῦ λαμβάνειν· οὐ γάρ ἐστιν ἐναντιούμενος οὐδείς, ἀλλ᾽ ὥσπερ καὶ γραφὰς κατ᾽ ἐμοῦ δέδωκεν, οὕτω καὶ δίκας ἐμοὶ εἶναι καὶ τῷ παιδὶ πεποίηκεν· οὔτ᾽ αὖ διὰ ταῦτα ἐκείνοις τοῖς ἔχουσι τὸν κλῆρον οὐκ ἐλάγχανον, ὡς ἐμοῦ μεταδώσειν ὁμολογήσαντος, ἀλλ᾽ ὅτι οὐδ᾽ ὁτιοῦν αὐτοῖς τούτων τῶν χρημάτων προσῆκεν. 29 Εὖ δ᾽ οἶδ᾽ ὅτι ⟨οὐδ᾽⟩ εἰ συνεχώρουν τῷ παιδὶ λαβεῖν ἐπιδικασαμένῳ παρ᾽ ἐμοῦ τὸ ἡμικλήριον, οὐκ ἄν ποτε ταῦτ᾽ ἐποίησαν οὐδ᾽ ἐπεχείρησαν, εἰδότες ⟨ὅτι⟩, ὁπότ᾽ ἐν τῇ ἀγχιστείᾳ μὴ ὄντες εἶχόν τι τῶν μὴ προσηκόντων, τοῦτ᾽ ἂν ὑπὸ τῶν ἐγγύτατα γένους ῥᾳδίως ἀφῃρέθησαν. Ὅ περ γὰρ καὶ πρότερον εἶπον, οὐ δίδωσι μεθ᾽ ἡμᾶς τοῖς ἡμετέροις παισὶ τὸ παράπαν τὴν ἀγχιστείαν || ὁ νόμος, ἀλλὰ τοῖς πρὸς μητρὸς τοῦ τελευτήσαντος. 30 Ἧκεν ἂν οὖν ἐπ᾽ αὐτὰ τοῦτο μὲν ὁ Γλαύκων ὁ τοῦ Ἁγνίου ἀδελφός, πρὸς ὃν μὴ ὅτι γένος εἶχον ἄμεινον εἰπεῖν, ἀλλὰ καὶ ἔξω τῆς ἀγχιστείας ἐφαίνοντ᾽ ἂν ὄντες, τοῦτο δ᾽, εἰ μὴ ἐβούλετο οὗτος, ἡ Ἁγνίου κἀκείνου μήτηρ, προσῆκον καὶ αὐτῇ τῆς ἀγχιστείας τοῦ αὐτῆς ὑέος, ὥσθ᾽ ὁπότε ἠγωνίζετο πρὸς τοὺς μηδὲν γένει προσήκοντας, φανερῶς ἂν ἔλαβε τὸ ἡμικλήριον παρ᾽ ὑμῶν, τοῦτο τοῦ δικαίου καὶ τῶν νόμων αὐτῇ δεδωκότων. 31 Οὐκοῦν διὰ ταῦτ᾽ οὐκ ἐλάγχανεν, οὐχ ὡς δι᾽ ἐμὲ ἢ τοὺς νόμους κωλυόμενος, ἀλλὰ ταύτας [τὰς] προφάσεις ποιούμενος ἐπὶ ταύτας